# ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑ

ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς οὓς ἐγὼ ἀγαπῶ **1**
ἐν ἀληθείᾳ καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλή-
θειαν. διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν καὶ μεθ' ἡμῶν ἔσται εἰς 2
τὸν αἰῶνα. ἔσται μεθ' ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρός 3*
καὶ παρὰ κυρίου ἰησοῦ χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός ἐν ἀληθείᾳ καὶ
ἀγάπῃ. ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν 4
ἀληθείᾳ καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. καὶ νῦν ἐρωτῶ σε 5*
κυρία οὐχ ὡς ἐντολὴν γράφω σοι καινὴν ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς ἵνα
ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη ἵνα περιπατῶμεν κατὰ 6*
τὰς ἐντολὰς αὐτοῦ αὕτη ἐστιν ἡ ἐντολή καθὼς ἠκούσατε ἀπ' ἀρχῆς ἵνα
ἐν αὐτῇ περιπατῆτε. ὅτι πολλοὶ πλάνοι εἰσῆλθόν εἰς τὸν κόσμον οἱ μὴ 7*
ὁμολογοῦντες ἰησοῦν χριστὸν ἐρχόμενον ἐν σαρκί οὗτός ἐστιν ὁ πλάνος
καὶ ὁ ἀντίχριστος. βλέπετε ἑαυτούς ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα 8*
ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. πᾶς ὁ παραβαίνων καὶ μὴ μένων ἐν 9*
τῇ διδαχῇ τοῦ χριστοῦ θεὸν οὐκ ἔχει ὁ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ
οὗτος καὶ τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ 10
ταύτην τὴν διδαχὴν οὐ φέρει μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν καὶ χαίρειν
αὐτῷ μὴ λέγετε. ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ 11*
τοῖς πονηροῖς. πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἠβουλήθην διὰ χάρτου 12*
καὶ μέλανος ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα λα-
λῆσαι ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη. ἀσπάζεταί σε τὰ τέκνα τῆς 13*
ἀδελφῆς σου τῆς ἐκλεκτῆς ἀμήν.

---

**1** **v.3** εσται μεθ υμων[𝒦] ημων[𝒯,𝔐,𝒱] χαρις ελεος ειρηνη παρα θεου πατρος και παρα κυριου[𝒯,𝔐,𝒦] ιησου χριστου του υιου του πατρος εν αληθεια και αγαπη. **v.5** και νυν ερωτω σε κυρια ουχ ως εντολην γραφων[𝒦,𝔐] γραφω[𝒯] σοι[𝒯,𝔐,𝒦] καινην γραφων[𝒱] σοι[𝒱] αλλα ην ειχομεν απ αρχης ινα αγαπωμεν αλληλους. **v.6** και αυτη εστιν η αγαπη ινα περιπατωμεν κατα τας εντολας αυτου αυτη εστιν[𝒯,𝔐,𝒦] η εντολη εστιν[𝒱] καθως ηκουσατε απ αρχης ινα εν αυτη περιπατητε. **v.7** οτι πολλοι πλανοι εξηλθον[𝒱] εισηλθον[𝒯,𝔐,𝒦] εις τον κοσμον οι μη ομολογουντες ιησουν χριστον ερχομενον εν σαρκι ουτος εστιν ο πλανος και ο αντιχριστος. **v.8** βλεπετε εαυτους ινα μη απολεσητε[𝒱] απολεσωμεν[𝒯,𝔐,𝒦] α ειργασαμεθα αλλα μισθον πληρη απολαβητε[𝒱] απολαβωμεν[𝒯,𝔐,𝒦]. **v.9** πας ο προαγων[𝒱] παραβαινων[𝒯,𝔐,𝒦] και μη μενων εν τη διδαχη του χριστου θεον ουκ εχει ο μενων εν τη διδαχη του[𝒯,𝔐,𝒦] χριστου[𝒯,𝔐,𝒦] ουτος και τον πατερα και τον υιον εχει. **v.11** ο γαρ[𝒯,𝔐,𝒦] λεγων γαρ[𝒱] αυτω χαιρειν κοινωνει τοις εργοις αυτου τοις πονηροις. **v.12** πολλα εχων υμιν γραφειν ουκ εβουληθην[𝔐,𝒱] ηβουληθην[𝒯,𝒦] δια χαρτου και μελανος αλλα ελπιζω γενεσθαι[𝒱] ελθειν[𝒯,𝔐,𝒦] προς υμας και στομα προς στομα λαλησαι ινα η χαρα ημων η[𝒯,𝔐,𝒦] πεπληρωμενη η[𝒱]. **v.13** ασπαζεται σε τα τεκνα της αδελφης σου της εκλεκτης αμην[𝒯,𝔐,𝒦].